τὸν χιτῶνα ἐπενδύς. τοῦ δὲ πότου προκόπτοντος, ζητή-
ματα πρὸς ἀλλήλους ἐτίθεντο. ἑνὸς δὲ ἐξ αὐτῶν ἀ-
ποροῦντος, πῶς ἔσται μεγάλη ταραχὴ ἐν ἀνθρώποις, Αἴ-
σωπος ὄπισθεν ἑστὼς, ἔφη, ἐὰν οἱ νεκροὶ ἀναστάν-
τες τὰ ἴδια ἀπαιτήσωσι. γελάσαντες δὲ οἱ σχολα-
στικοὶ ἔλεγον, νομίζω ὁ νεώνητος ἐστί, καὶ οὐκ ἄχαρις,
ἀλλὰ πάντας, ἐξάπινα ὁ Ξάνθος διδάσκει αὐτὸν,
πλὴν πάντα καλῶς λέγει. ἄλλος ἔφη, διατί τὸ μὲν πρό-
βατον πρὸς σφαγὴν ἑλκόμενον οὐ βοᾷ, ὁ δὲ χοῖρος με-
γάλα κράζει. Αἴσωπος δὲ πάλιν ἑστὼς, ἔφη, τὸ μὲν
πρόβατον συνήθως ἀμελγόμενον καὶ κειρόμενον, ἑλ-
κόμενον ἀκολουθεῖ, σκελιζόμενον δὲ καὶ τὸν σίδηρον βλέ-
πων, οὐδὲν ὑποπτεύει. δοκεῖ γὰρ τὸ τοῦ πόκου βάρος ἐν-
ἀποτίθεσθαι, καὶ τὴν τοῦ γάλακτος ἄμελξιν. ὁ δὲ χοῖ-
ρος μήτε γάλα εὔχρηστον ἔχων, μήτε τρίχας καλὰς,